eul_wid: ece-aa

*Θεσσαλός ὁ Κῷος* · Thessalus of Cos

# On the Virtues of Herbs

*Περὶ τῶν ἀρετῶν τῶν βοτάνων*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἰωνική* Ionic
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

1 prol t Βίβλος ἰατρικὴ σύντομος τοῦ Τρισμεγίστου Ἑρμοῦ κατὰ μαθηματικῆς ἐπιστήμης καὶ φυσικῆς ἀπορροίας τῶν ἄστρων ἐκδοθεῖσα πρὸς τὸν μαθητὴν αὐτοῦ Ἀσκληπιόν. Κριοῦ ἐλελίσφακος, Ταύρου περιστερεὼν ὀρθός, Διδύμων περιστερεὼν ὕπτιος, Καρκίνου σύμφυτον, Λέοντος κυκλάμινον, Παρθένου καλαμίνθη, Ζυγοῦ σκορπίουρος, Σκορπίου ἀρτεμισία, Τοξότου ἀναγαλλὶς πυρρὰ καὶ κυανή, Αἰγοκέρωτος λάπαθον, Ὑδροχόου δρακόντιον, Ἰχθύων βοτάνη ἀριστολοχία.

1 prol 1 ταύτας τὰς βοτάνας δεῖ συλλέγειν καὶ χυλοποιεῖν, ὅταν ὑπάρχῃ ὁ Ἥλιος εἰς τὸν Κριόν, ἀλλὰ δὴ καὶ ὅταν ὑπάρχῃ εἰς ἓν ἕκαστον ζῴδιον τοῦ καθ’ ἑνὸς βοτάνου, ὑπάρχῃ δὲ καὶ ἡ Σελήνη εἰς τρίγωνον τοῦ Ἡλίου ἢ εἰς τὸν ὡροσκόπον· ἔστω δὲ καὶ ἡ ἡμέρα καὶ ἡ ὥρα τοῦ οἰκοδεσπότου τοῦ ζῳδίου· καὶ οὕτως εὐδοκιμήσεις, καθῶς ὁ διδάσκαλος λέγει κατὰ κοσμικὴν καὶ φυσικὴν ἀποτέλεσιν. Ἑρμοῦ τοῦ τρισμεγίστου περὶ ἱερῶν βοτανῶν καὶ χυλώσεως Μακαρίας παρὰ θεῶν τιμῆς Ἑρμῆς τετυχηκώς, προβαίνοντος τοῦ χρόνου καὶ γνωσθέντων τῶν σῶν ἐπιτευγμάτων πλέον ἄνθρωποι θρησκεύ 〈σ〉 ουσί σε· ἐπερώτα τοίνυν περὶ ὧν θέλεις· ἀσμένως γὰρ πάντα παρέξω σοι.

1 prol 25 ταῦτα γὰρ πρὸς αὐτὸν ἔφη ὁ θεός. ἐγὼ δὲ μόλις μὲν ἤκουσα· κατεπεπλήγμην γὰρ καὶ ἐπεπληρώμην τὸν νοῦν εἰς τὴν τοῦ θεοῦ βλέπων μορφήν· ὅμως γοῦν ἐπυθόμην, δι’ ἣν ἐπανιέντες ταῖς τοῦ Νεχεψὼ δυνάμεσιν ἠστόχησα.

1 prol 26 πρὸς ἃ{ς} εἶπεν ὁ θεός· βασιλεὺς δ’ ἦν ὁ Νεχεψώ, ἀνὴρ σωφρονέστατος καὶ πάσῃ κεκοσμημένος ἀρετῇ· καὶ παρὰ μὲν θείας φωνῆς ἅπαντα μαθεῖν ἠστόχησε, φύσει δὲ χρησάμενος ἀγαθῇ συμπαθείας λίθων καὶ βοτανῶν ἐπενόησε, τοὺς καιροὺς καὶ τοὺς τόπους, ἐν οἷς τὰς βοτάνας ἐπέγνω ἀναλαμβάνειν.

1 prol 28 ὁρᾷς γὰρ ὡς πάντα τῇ τῶν ἀστέρων ἀπορροίᾳ αὔξεται καὶ μειοῦται. τὸ δὲ οἰκεῖον ἐκείνων πνεῦμα λεπτομερέστατον ὑπάρχον διὰ πάσης οὐσίας διήκει καὶ μάλιστα κατ’ ἐκείνους τοὺς τόπους, καθ’ οὓς τὸ τῶν ἀστέρων ἐπὶ τῆς κοσμικῆς καταβολῆς ἔγγειον περιέτυχε μέρος. τεκμήριον δὲ τοῦτο πρὸς πίστιν τῶν λοιπῶν παραστήσω σοι. Βοτάνη ἔστιν τὸ λεγόμενον κώνειον.

1 prol 29 αὕτη ἐκ τῆς τοῦ Ἄρεος ἀπορροίας δοκεῖ γεγενῆσθαι· ἔτυχε δὲ ἐπὶ τῆς κοσμικῆς καταβολῆς ἐν Σκορπίῳ βάλλων ἀκτῖνα ὁ Ἄρης· 〈ἔβαλε γοῦν τὸ κώνειον ἐν τοῖς τῆς Ἰταλίας μέρεσιν·〉

Σκορπίῳ γὰρ ὑποκεῖσθαι {καὶ} τὸ τῆς Ἰταλίας ἔτυχε κλίμα. αὕτη οὖν ἡ βοτάνη περισσότερόν τι τῆς θείας ἀπορροίας ἔχει· ἑλκυσθεῖσα γὰρ ἐάντε ὑπὸ τετραπόδου ἐάντε ὑπ’ ἀνθρώπου βρωθῇ, παραχρῆμα θανατοῖ.

1 prol 31 τινὲς δὲ καὶ κατὰ τὴν πνοὴν τῆς βοτάνης ἐν ταῖς ἐρημίαις παρ’ αὐτὴν κλιθέντες καὶ κοιμηθέντες ἐν τῷ ῥινουλκεῖν ἐν ταῖς ἀναπνοαῖς τὴν ἀπ’ αὐτῆς ἐνέργειαν ἐτελεύτησαν. καὶ ἡ Κρήτη δὲ ὑπὸ τὸ τοῦ Τοξότου κεῖται κλίμα.

1 prol 32 παρέτυχε δὲ ἐκεῖ ὁ Ζεὺς ἐπὶ τῆς κοσμικῆς καταβολῆς εἰς Κρήτην τὴν ἀκτῖνα βάλλων. ταύτην οὖν τὴν βοτάνην τὸ κώνειον ἐσθίουσιν οἱ ἄνθρωποι ὑπάρχουσαν παντὸς ἡδίω λαχάνου.

1 prol 34 οὕτως αἱ τῶν θεῶν ἀπόρροιαι παρὰ τοὺς τόπους καὶ τοὺς καιροὺς βλάπτειν καὶ ὠφελεῖν δύνανται. Πρόδηλον οὖν ὅτι πάντων τῶν ἀστέρων βασιλεύς ἐστιν ὁ Ἥλιος· οὗτος δὲ ἐν τῷ {ζῳδίῳ} Κριῷ γενόμενος ὑψοῦται καὶ τὴν μεγίστην δύναμιν ἐν τούτῳ λαμβάνει τῷ ζῳδίῳ τῷ Κριῷ.

1 prol 36 αἱ οὖν βοτάναι τότε δυναμικώταται, οὐ μόνον διὰ τὸν Ἥλιον, ἀλλ’ ὅτι καὶ τὸ ζῴδιον πᾶσι τοῖς θεοῖς ἐν πλείοσιν ἐπικοινωνεῖ. Ἡλίου μὲν γάρ, ὡς προεῖπον, Κριός ἐστιν ὕψωμα, Κρόνου δὲ ταπείνωμα, Ἄρεως δὲ οἶκος, Διὸς δὲ τρίγωνον.

1 prol 37 τοσαύτας γοῦν ἔχει δυνάμεις τὸ προειρημένον ζῴδιον. ἐν τούτῳ οὖν {τῷ ζῳδίῳ} ὄντος τοῦ Ἡλίου τὰς ῥηθησομένας λαμβάνων βοτάνας χύλιζε, μὴ ἑψῶν δέ· ὑπὸ γὰρ τοῦ πυρὸς ἀλλοιοῦνται.

1 prol 38 Κόπτε δὲ καὶ τὸν χυλὸν ἔκθλιβε καὶ εἰς ἕκαστον χυλοῦ ξέστην βάλλε μέλιτος κύαθον ἐναγγ’ ἥν· παρέχει γὰρ εὔχροιάν τε τοῖς χυλοῖς καὶ διαμονὴν αὐτοῖς, ἐφ’ ὅσους ἐνιαυτοὺς βούλει φυλάττειν. τοῦτο δὲ ποιήσας βάλε εἰς ἀγγεῖον ὑέλινον καὶ θὲς ἐπὶ ἡμέρας ξ′.

1 prol 39 καὶ οὕτως εἰς τὴν ὀφειλομένην χρείαν ἔρχου πρὸ αὐτῆς. μετὰ δὲ ταῦτα σκευάζεται ἑκάστη δύναμις οὕτως. Σκορπίου βοτάνη ἀρτεμισία Ταύτης ὁ χυλὸς λαμβανόμενος ἐν πανσελήνῳ ὄντος ἐν Κριῷ τοῦ ἡλίου μεγίστας ἐνεργείας ἔχει· τριταΐζοντας γὰρ καὶ τεταρταΐζοντας ἀπολύει, ἐὰν ἴσον ἴσῳ μετὰ ῥοδίνου ἀλείψῃς· σκευάζεται δὲ καὶ δι’ αὐτοῦ πρὸς τοὺς σεληνιαζομένους τοιόνδε· ὑοσκυάμου δρ.

1 8 3 ς′, ἴρεως Ἰλλυρικῆς δρ. ιδ′, κολοφωνίας δρ. θ′, λαθυρίδων δρ. β′. ταῦτα λεῖα ποιήσας ἀναλάμβανε τῷ χυλῷ καὶ πλάσας 〈τροχίσκους〉 ἀνὰ δρ. α′ ἀπόθου· ὅταν δὲ θέλῃς δοῦναι διεὶς ἕνα ἐν κυάθῳ γάλακτος ὀνείου {ἔγκλυζε καὶ} σύγχριε καθάπερ καὶ τοὺς τεταρταΐζοντας. γίνεται δὲ καὶ ἄκοπον πρὸς νευρικὰς καὶ ὑστερικὰς διαθέσεις ἐνεργέστατον τὸν τρόπον τοῦτον· κηροῦ δρ.

1 8 4 β′, στέατος χηνείου δρ. ιβ′, μυελοῦ ἐλαφείου δρ. κ′, χαλβάνης δρ. ις′, κροκομάγματος δρ. ιβ′, ἴρεως Ἰλλυρικῆς δρ. ις′, ἰρίνου δρ. κ′, ἐλαίου παλαιοῦ δρ. κδ′, τοῦ χυλοῦ κυάθους ς′. ταῦτα λεῖα ποιήσας καὶ συμμίξας ἕψε, ἕως γένηται γλοιοῦ πάχος καὶ χρῶ. ποιεῖ δὲ καλῶς καὶ πρὸς τὰ ἀναισθητοῦντα μέρη τοῦ σώματος. σκευάζεται δὲ καὶ μάλαγμα ἐκ τῆς ῥίζης πρός τε τὰς συνδρομὰς καὶ ἀναισθησίας τῶν νεύρων καὶ τῶν ἄρθρων καὶ τὰς παραλύσεις οὕτως· κηροῦ δρ.

1 8 5 ρκ′, ῥητίνης τερεβινθίνης δρ. κ′, ξυλοβαλσάμου δρ. ιβ′, Ἀμμωνιακοῦ θυμιάματος δρ. ις′, χαλβάνης δρ. ιδ′, τῆς βοτάνης τῆς ῥίζης κεκομμένης καὶ σεσημένης δρ. β′, κεδρίας δρ. λβ′. τὰ ξηρὰ τοῖς ὑγροῖς ἀναλαμβάνων χρῶ. καὶ ὅταν ἑψηθῇ ἡ βοτάνη καὶ συγκαθίσῃ γυνὴ πνιγμοὺς ἔχουσα τῆς ὑστέρας ἢ καρκινώματα θεραπευθήσεται.

1 12 t Ἰχθύων βοτάνη ἀριστολοχία Ταύτης δὲ διττὸν τὸ εἶδος· {καὶ} ἡ μὲν γάρ ἐστι θήλεια, ἡ δὲ ἄρρην, δυνάμεσι δὲ κεκόσμηνται διαφόροις.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

1 12 2 ἀρξόμεθα δὲ πρῶτον ἀπὸ τῆς θηλείας. αὕτη φέρει καρπὸν ἐμφερῆ μήλοις· ἧς ὁ χυλὸς λαμβάνεται καὶ σκευάζεται ὑγρὰ πρός τε τοὺς ὑποκεχυμένους καὶ γεγλαυκωμένους ὀφθαλμούς· καδμείας βοτρυίτιδος κεκαυμένης καὶ πεπλυμένης οἴνῳ φαλερικῷ δρ.

1 12 3 η′, χαλκοῦ κεκαυμένου δρ. δ′, στίμμεως δρ. ϛ′, πεπέρεως λευκοῦ δρ. β′, μέλιτος Ἀττικοῦ δρ. δ′, λυκίου Ἰνδικοῦ δρ. α′. ταῦτα λεαίνων ἔγχει τῷ χυλῷ, ὥστε γενέσθαι γλοιοῦ πάχος καὶ χρῶ . αὕτη γὰρ ἡ δύναμις λίαν ἀπεγνωσμένα πάθη ἰᾶται· γίνεται δὲ περίχριστος ἐκ τοῦ αὐτοῦ χυλοῦ, ἥτις ἰᾶται ἀλωπεκίας λευκάς, ἀλφοὺς λευκούς, λέπραν, ψώραν ἄλλα τε πάντα τὰ δοκοῦντα εἶναι ἀθεράπευτα.

1 12 4 σκευάζεται δὲ οὕτως· θείου ἀπύρου δρ. μ′, ἀφρονίτρου δρ. κ′, σανδαράχης δρ. ιβ′, λυκίου 〈Ἰνδικοῦ〉 δρ. ιβ′, ἀρσενικίου δρ. ιβ′. ταῦτα λεαίνων παρέγχει τῷ χυλῷ, ὡς γενέσθαι γλοιοῦ πάχος· ὅταν δὲ θεραπεύῃς, προνιτρώσας χρῶ ἤτοι κατάχριε. ἐκ δὲ τοῦ χυλοῦ τῶν φύλλων σκευάζεται περίχρισμα τοῦ προσώπου λαμπρότητα καὶ λειότητα ποιοῦν· φακοὺς ἀναιρεῖ καὶ ἀλφοὺς μέλανας.

1 12 5 σκευάζεται δὲ οὕτως· ἐλλεβόρου λευκοῦ δρ. α′ ϛ′′, τῆς Χίας δρ. κδ′, ἴρεως Ἰλλυρικῆς κεκομμένης καὶ σεσησμένης δρ. ζ′ . εἶτα παρέγχει τῷ χυλῷ, ὥστε γενέσθαι γλοιοῦ πάχος καὶ χρῶ. διὰ δὲ τῆς ῥίζης σκευάζεται κολλούρια πρὸς πυρώματα καὶ βόθρια καὶ τὰ ῥυπαρὰ ἐν τοῖς ὀφθαλμοῖς· αὕτη δὲ αὐτὰ ἀνακαθαίρει καὶ κατουλοῖ καὶ ἀναπληροῖ· καδμείας βοτρυίτιδος δρ.

1 12 6 η′, μάννης Λιβάνου δρ. η′, κρόκου δρ. ε′, τῆς ῥίζης κεκομμένης καὶ σεσημένης δρ. κδ′, κόμμεως δρ. ιβ′· ἀντὶ ὕδατος οἴνῳ Ἀμιναίῳ ἀναλαμβάνων χρῶ. σκευάζεται δὲ ἔμπλαστρος πρὸς τὰ ῥυπαρὰ καὶ παλαιὰ ἕλκη καὶ δυσκατούλωτα καὶ ὅσα κατ’ ἐπιρρευματισμὸν ἰχώρων δριμέων, ὅταν κατουλωθῇ, καὶ πάλιν ἀναξύεται· κηροῦ δρ.

1 12 7 ρκ′, ῥητίνης τερεβινθίνης δρ. β′, μάννης Λιβάνου δρ. μ′, ἰοῦ ξυστοῦ δρ. ζ′, τῆς ῥίζης δρ. π′, ἐλαίου παλαιοῦ δρ. ξ′. τὰ ξηρὰ τοῖς ὑγροῖς ἀναλαμβάνων χρῶ. αὕτη ἡ ἔμπλαστρος {καὶ} ἐνιεμένη μετὰ ῥοδίνου καὶ μέλιτος τὰ ἐν ῥώθωσιν ἕλκη καὶ ἐν στόματι θεραπεύει καὶ ἐν ὠτίοις.

1 12 8 ποιεῖ δὲ καὶ πρὸς τὰσ ἐν αἰδοίοις καὶ δακτυλίοις διαθέσεις. τοῖς δὲ ἀστραγαλωτοῖς ἐκ μὲν τοῦ χυλοῦ πρὸς τὰς ἐν θώρακι γινομένας διαθέσεις, οἷς ἔμπυον καὶ φλέγμα δυσῶδες φέρεται· ἀνακαθαίρει γὰρ αὐτὰ καὶ κατουλοῖ.

1 12 9 κρόκου δρ. ιδ′, κασσίας σύριγγος δρ. κ′, βδελλίου δρ. δ′, παρ’ ἐνίοις β′, ὀρόβων πεφρυγμένων καὶ σεσημένων δρ. η′, ἀμυγδάλων πικρῶν κεκαθαρμένων δρ. η′ . ταῦτα λεῖα ποιήσας παρέγχει τοῦ χυλοῦ τὰ ἐνδεχόμενα καὶ ποίει τροχίσκους ἄγοντας ἀνὰ [ δρ. α′ ]· δίδου δὲ ἕνα πρωὶ καὶ ἕνα εἰς κοίτην. διὰ δὲ τοῦ χυλοῦ τῶν μήλων τῆς βοτάνης σκευάζεται τροχίσκος πρὸς λιθιῶντας καὶ πρὸς φλεγμονὴν κύστεως καὶ ψωρίασιν· καὶ ὅσοις ἡ οὐρήθρα ἥλκωται, ὥστε μετὰ πόνου καὶ κατ’ ὀλίγον οὐρεῖν, καλῶς ποιεῖ· καὶ τρυγώδη ἢ πυώδη φέρεται τὰ οὖρα· πετροσελίνου {σπέρμα} πηγάνου, δαύκου σπέρμα ἀνὰ δρ.

1 12 10 δ′, κόστου δρ. η′, πεπέρεως μακροῦ δρ. β′. λεῖα ποιήσας βάλλε μέλιτος Ἀττικοῦ καὶ τοῦ χυλοῦ τὸ αὔταρκες καὶ πλάσας τροχίσκους ἄγοντας ἀνὰ δρ. β′· δίδου ἕνα ἐν οἴνου λευκοῦ κυάθοις γ′. τοῦτο τοὺς λίθους διαλύει καὶ ἐξωθεῖ καὶ τὰς σαρκώσεις ἀνακαθαίρει καὶ κατουλοῖ, ὅσα δυσούλωτα, ἐν ἡμέραις τρισίν, παρ’ ἐνίοις δὲ ἐννέα. ἐκ δὲ τῆς ῥίζης σκευάζεται μάλαγμα πρὸς χοιράδας καὶ ἀθερώματα καὶ στεατώματα καὶ εἰς ἀποστήματα καὶ πρὸς πάντα τὰ δυσδιάλυτα.

1 12 11 κηροῦ δρ. ρ′, ῥητίνης τερεβινθίνης δρ. μ′, Ἀμμωνιακοῦ θυμιάματος δρ. ιβ′, κεδρίας δρ. ξ′, τῆς ῥίζης κεκομμένης καὶ σεσημένης δρ. π′. τὰ ξηρὰ τοῖς ὑγροῖς ἀναλαμβάνων χρῶ. αὕτη ἡ δύναμις

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὰ σκληρὰ διαχέει, τὰ δὲ συνεστραμμένα ῥήσσει· ὅταν δὲ συρρήξῃ, χρῶ τῇ ἐκ τῆς κληματίτιδος ἀνιεμένῃ· καθαίρει γὰρ καὶ οὐλοῖ. Βοτάνη Διὸς εὐπατόριον λεγομένη, κατὰ δέ τινας πενταδάκτυλος Ταύτης ὁ μὲν χυλὸς ποιεῖ ληθαργικοῖς· εἰς καταπότιον σκευάζεται δὲ οὕτως· στάχυος δρ.

2 4 1 β′, κασσίας συρίγγος δρ. δ′, ὀποπάνακος δρ. β′, λυγιστικοῦ δρ. κ′, μελανθίου δρ. δ′. ταῦτα ποιήσας λεῖα ἀναλάμβανε τῷ χυλῷ καὶ ποίει καταπότια ἄγοντα ἡμίδραχμον καὶ δίδου {καὶ} μετὰ ὕδατος κυάθου α′. καὶ μετὰ ῥοδίνου σμιγνύμενος καὶ ἀλειφόμενος ὠφελεῖ. σκευάζεται δὲ καὶ διὰ τῆς ῥίζης τροχίσκος πρὸς διαρροϊκοὺς καὶ λυεντερικοὺς καὶ εἰς πᾶσαν κοιλιακὴν διάθεσιν οὕτως· μύρτων λευκῶν δρ.

2 4 2 ιβ′, ῥοῦ Συριακοῦ δρ. κδ′, σιδίων ῥοᾶς κεκομμένων καὶ σεσημένων δρ. κδ′, τῆς ῥίζης τῆς βοτάνης δρ. κ′. ταῦτα λεῖα ποιήσας ἀναλάμβανε {ἐν} αὐστηροτάτῳ οἴνῳ καὶ ποίει τροχίσκους ἄγοντας ἀνὰ δρ.

2 4 3 μίαν καὶ τοῖς μὲν πυρέσσουσι δίδου α′ τροχίσκον ἐνιεὶς ὕδατι, τοῖς δὲ ἀπυρέτοις ἐν οἴνῳ· ἵστησι γὰρ τὰ ῥεύματα τῆς κοιλίας παραχρῆμα. πλεῖον δὲ τοῦ ἑνὸς τροχίσκου μὴ δίδου, ἐπεὶ μέλλεισ ζητεῖν πάλιν πῶς χαλάσεις τὴν κοιλίαν. γίνεται δὲ καὶ διὰ τῆς ῥίζης κολλούριον πρὸς λευκώματα καὶ πτερύγια καὶ ὀνύχια καὶ τὰ τούτοις παραπλήσια τὸν τρόπον τοῦτον· λίθου αἱματίτου πεπληγμένου δρ.

2 4 4 η′, καδμείας κεκαυμένης δρ. δ′, μολίβδου πεπληγμένου καὶ κεκαυμένου δρ. γ′, κρόκου δρ. θ′, τῆς ῥίζης κεκομμένης καὶ σεσημένης δρ. κδ′, σμύρνης δραχμὰς δ′, κόμμεως δρ. η′. ταῦτα σκεύαζε ἐν οἴνῳ αὐστηρῷ καὶ χρῶ. ἐπιχριόμενον δὲ αἴρει ὑπώπια καὶ πᾶν πελιδνὸν καὶ λειχῆνας καὶ τὰς γενομένας οὐλὰς λευκαίνει. Ἄρεως βοτάνη π ευδέκανοσ Ταύτης ὁ χυλὸς ἐνεργεῖ πρὸς τὰ τῶν ἰοβόλων θηρίων δήγματα σκευαζομένου ἀκόπου τὸν τρόπον τοῦτον · μυελοῦ ἐλαφείου δρ.

2 5 1 μ′, σαμψύχου δρ. ιβ′, κυπήρεως δρ. μ′, χαλβάνης δρ. κδ′, ῥητίνης τερεβινθίνης δρ. μ′ , ἐλαίου παλαιοῦ δρ. ιη′, 〈τοῦ〉 χυλοῦ τῆς βοτάνης δρ. ξ′ . {χύλησον} ταῦτα λεῖα ποιήσας ἕψε, ὡς λάβῃ γλοιοῦ πάχος, καὶ ἀπόθου. ὁ οὖν προαλειψάμενος οὐ μὴ δηχθήσεταί ποτε. γίνεται δὲ καὶ καταπότιον διὰ 〈τοῦ〉 χυλοῦ πρὸς τοὺς δεδηγμένους ὑπὸ τῶν προγεγραμμένων ἑρπετῶν οὕτως· ἀμώμου δρ.

2 5 2 δ′ , σμύρνης δρ. δρ. δ′, ξυλοκινναμώμου δρ. ϛ′, καρδάμου σπέρμα 〈τοσ〉 δρ. ιϛ′, μέλιτος Ἀττικοῦ δρ. ιζ′. ταῦτα ἀναλάμβανε τῷ χυλῷ καὶ λεῖα ποιήσας ἀνάπλασε καταπότια ἄγοντα ἀνὰ δρ. μίαν καὶ δίδου 〈α′〉 ἐνιεὶς ἐν κυάθοις τέτρασιν οἴνου μέλανος καὶ ἀνάγκαζε τρέχειν. ἐκ δὲ τῆς ῥίζης σκευάζεται τροχίσκος πρὸς ἰκτερικούς—θεραπεύει δὲ καὶ ὑδρωπικοὺς—οὕτως· λίθου χελωνίτου κεκαυμένου καὶ πεπληγμένου δρ.

2 5 3 η′, σιλφίου δρ. ιβ′, λίθου αἱματίτου δρ. δ′, μέλιτος πικροῦ δρ. η′, τῆς ῥίζης δρ. ζ′ ἢ β′, ὡς ἔνιοι. ταῦτα 〈λεῖα〉 ποιήσας {καὶ} ἀναλάμβανε οἴνῳ τεθαλασσομένῳ καὶ πλάσας τροχίσκους ἄγοντας ἀνὰ δρ. α′ δίδου 〈α′〉 τοῖς μὲν ἀπυρέτοις σὺν οἴνου τεθαλασσωμένου κυάθοις γ′ , τοῖς δὲ πυρέσσουσιν ἐν ὕδατι. κατασκευάζεται δὲ καὶ ἔμπλαστρος πρὸς ταῦτα καὶ διακοπὰς νεύρων καὶ τριήμερον παρακολλᾷ οὕτως· κηροῦ δρ.

2 5 4 η′, σαρκοκόλλης δρ. ιϛ′, ῥητίνης ξηρᾶς δρ. μ′, λιβάνου ἄρρενος δρ. ιβ′, στέατος ταυρείου δρ. κδ′, καστορίου δρ. κ′, τῆς ῥίζης τῆς βοτάνησ δρ. η′, ἐλαίου κικίνου δρ. θ′. τὰ ξηρὰ τοῖς ὑγροῖς ἀναλαμβάνων χρῶ. Ἀφροδίτης βοτάνη πανάκεια ὑπὸ δέ τινων πλοκαμὶς λέγεται, ὑπὸ δὲ ἐνίων καλλίτριχον, λέγεται δὲ καὶ ἡράκλειον.

2 6 1 Ταύτης ὁ χυλὸς ἱκανὰς καὶ μεγίστας ἔχει δυνάμεις, οὐκ ἐλάττονας δὲ καὶ ἡ ῥίζα· τῷ γὰρ χυλῷ αὐτῆς μετὰ ῥοδίνου ὃς ἂν χρίσῃ τὴν ὄψιν, ἐπικαλεσάμενος τὴν θφ⁊λςϙψ τοῦ δοῦναι αὐτῷ

Eulogikon public reading copy · View original HTML at eulogikon.org

χάριν, ἡδέως θεωρηθήσεται ὑπὸ πάντων ἀνθρώπων ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, μάλιστα δὲ ὑπ’ ἐκείνων, οὓς ἂν ἐπ 〈ιχριόμενοσ〉 ὀνόματι εἴπῃ· εἰ δέ τις ἀλείψεται τὰς κόμας μετὰ μύρου τοῦ λεγομένου νάρδου, μέλαιναι λίαν διαμενοῦσι αἱ τρίχες αὐτοῦ εἰς πάντα χρόνον· οὐ μὴν ἀλλὰ καὶ πυκνότεραι καὶ αὐξητικώτεραι γίνονται.

2 6 4 σκευάζεται δὲ 〈καὶ ἔμπλαστροσ〉 τὰ ὑγρὰ ἢ τὰ λευκώματα ἐπὶ τῶν ὀφθαλμῶν μελαίνουσα, ὁμοίως δὲ καὶ τοὺς γλαυκοφθάλμους ποιοῦσα μελανοφθάλμους οὕτως· ἀκακίας μελαίνης δρ. β′, μίσεως δρ. δ′, χαλκάνθου δρ. α′, χάλκου κεκαυμένου δρ. α′, κρόκου δρ. α′. ταῦτα λεῖα ποιήσας ἔμβαλε τῷ χυλῷ, ὥστε γενέσθαι μέλιτος πάχος, καὶ χρῶ. τοῦτο ἐν τῇ ὑστέρᾳ τὰς διαθέσεις πάσας θεραπεύει.

2 6 5 αὕτη μὲν ἡ διὰ τοῦ χυλοῦ χρῆσις. σκευάζεται δὲ διὰ τῆς ῥίζης τροχίσκος, ὃν ἐάν τις προπιὼν πότιμον δηλητήριον 〈ἢ〉 φάρμακον ᾖ εἰληφώς, οὐ μὴ κακὸν πάθῃ· ἀλλὰ καὶ μετὰ τὸ φαρμακευθῆναι ἐάν τις εὐθέως πίῃ τὸν τροχίσκον, ἀπαλλαγήσεται.

2 6 6 σμύρνης δρ. η′, ἀλόης δρ. δ′, κορίου σπέρματος δρ. ιβ′, κρόκου δρ. η′, ἀνίσου σπέρματος δρ. ιβ′, ὀποπάνακος δρ. η′, μέλιτος Ἀττικοῦ δρ. κ′, τῆς ῥίζης τῆς βοτάνησ λεπτοποιηθείσης δρ. η′. ταῦτα λεάνας ἐπιμελῶς ἀναλάμβανε οἴνῳ τεθαλασσωμένῳ καὶ ποίει τροχίσκους ἄγοντας ἀνὰ δρ. α′ καὶ τοῖς μὲν μήπω πεφαρμακευμένοις δίδου 〈ἕνα〉 σὺν οἴνου κυάθοις β′, τοῖς δὲ πεφαρμακευμένοισ δύο ἐν οἴνου κυάθοις τέτταρσιν. σκευάζεται δὲ καὶ ἔμπλαστρος πρὸς τὰ ἐν τῇ κεφαλῇ γινόμενα τραύματα, ὥστε τριχοφυεῖν· καδμίας κεκαυμένης καὶ πεπληγμένης δρ.

2 6 7 ιβ′, λιθαργύρου δρ. κ′, μάννης Λιβάνου δρ. ιβ′, στέατος ταυρείου δρ. κ′, κηροῦ δρ. ξ′, ῥητίνης ξηρᾶς καὶ ὑγρᾶς δρ. ξ′, ἰοῦ χαλκοῦ δρ. η′, ἐλαίου παλαιοῦ δρ. ο′, τῆς ῥίζης κεκομμένης καὶ σεσημένης δρ. ρ′. τὰ ξηρὰ μὲν τοῖς ὑγροῖς ἀναλαμβάνων χρῶ. γίνεται καὶ ἐπίχρισμα ταῖς γυναιξὶ τοῦ προσώπου, ὥστε ῥυτίδας μὴ εἶναι, λευκὸν δὲ καὶ τετανὸν τὸ πρόσωπον· αἵρει δὲ καὶ ἐξανθήματα πάντα.

2 6 8 λυκίου Ἰνδικοῦ δρ. κ′, τινὲς δὲ μέλι οὐκ ἔχουσιν, μέλιτος πικροῦ δρ. κ′, ἐλλεβόρου λευκοῦ δρ. μ′, μελιλώτου ποντικοῦ δρ. μ′, τῆς ῥίζης τῆς βοτάνησ κεκομμένης καὶ σεσημένης δρ. ξ′, ὄξους δριμυτάτου ξέστην ἕνα. ταῦτα λεῖα ποιήσας ἕψε, ἕως γένηται γλοιοῦ πάχος· εἶτα χρῶ. Ἑρμοῦ βοτάνη φλόμος Ἡ αὐτὴ λέγεται καὶ Ἑρμοῦ ῥάβδος ἀγαθή.

2 7 1 σκευάζεται δὲ διὰ τοῦ χυλοῦ αὐτῆς ἄκοπον, ᾧ ἐάν τις ἀλείψηται εἰς ὁδηπορίαν πορευόμενος ἢ ἄλλην ἐργασίαν κοπηρὰν μετερχόμενος οὐ κοπωθήσεται . ποιεῖ δὲ καὶ τοῖς δρομεῦσι καὶ πᾶσι τοῖς ἀγωνιζομένοις εὐκίνητα καὶ ἰσχυρὰ τὰ μέλη τοῦ σώματος. ἐὰν δὲ καὶ κεκοπωμένος ἀλείψηταί τις, πέπαυται τοῦ κόπου. Σαμψύχου δρ. ιβ′, μυελοῦ ἐλαφείου δρ. μ′, ῥητίνης τερεβινθίνης δρ. μ′, ἐλαίου παλαιοῦ δρ. ξ′, τοῦ χυλοῦ τῆς βοτάνησ ξέστην ἕνα, χαλβάνης δρ. η′, κηροῦ δρ. ξ′. ἕψε, ἕως ἂν γένηται γλοιοῦ πάχος, καὶ χρῶ. τούτου τοῦ χυλοῦ ἐὰν νῆστις ῥοφήσῃ τις καὶ τὸν αελ᾽ν ἐπικαλέσηται τὸν ελξβ᾽ν ἑτοιμότατος γίνεται ἐν τῷ λαλεῖν καὶ πιστικώτατος.

2 7 3 διὰ δὲ τῆς ῥίζης ἔμπλαστρος σκευάζεται, ἥτις βέλη καὶ σκολόπας καὶ τὰ δυσκόμιστα τῶν ὀστέων ἐπισπᾶται· γίνεται δὲ τὸν τρόπον τοῦτον· κηροῦ δρ. π′, ῥητίνης τερεβινθίνης δρ. μ′, χαλβάνης δρ. κ′, ἐλαίου ὀμφακίνου δρ. μ′, τῆς ῥίζης κεκομμένης καὶ σεσημένης δρ. π′. τὰ ξηρὰ τοῖς ὑγροῖς ἀναλαμβάνων χρῶ. Ἔχεις ἐν βραχεῖ συντάγματι παραδεδομένην σοι πᾶσαν θεραπείαν παντὸς πάθους.

2 epil 2 ἐν σοὶ οὖν τὸ λειπόμενόν ἐστιν κατασκευάζειν τε τὰ προγεγραμμένα καὶ τὸν ἐξ ἐμοῦ λόγον φυλάξασθαι, ὥστε ἀνθρώπῳ μηδενὶ ἀμαθεῖ παραδιδόναι τὴν γραφὴν ταύτην. ἐλθοῦσα γὰρ εἰς πλειόνων χεῖρας αὕτη ἡ βίβλος τὸ φιλόλογον καὶ θαυμαστὸν τῆς καθόλου ἰατρικῆς ἐπιστήμης ἐπίτευγμα περικόψει.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

2 epil 4 οὐκέτι γὰρ οὔτε διαφόρους αἱρέσεις ἰατρικῆς ἀσκήσουσιν ἄνθρωποι οὔτε μὴν τὰ τῶν ἀρχαίων ἰατρῶν συντάγματα ποθήσουσιν μετιέναι, ἀλλ' ἀμεληθήσεται τῶν τοσούτων ἀνδρῶν καὶ τηλικούτων ὁ κόπος διὰ τὸ πολὺ τῆς ἀπὸ τοῦ παρόντος συντάγματος εὐχερείας ὡς εἴρηται παντὸς σωματικοῦ πάθους θεραπευθήσεσθαι δυναμένου . παραινῶ δέ σοι ἐν ἀπορρήτοις ἔχειν τὴν γραφὴν ταύτην· ἔπειτα σύνταγμα ὡς πλεῖστα καὶ κάλλιστα πάσης αἱρέσεως καταβάλλεσθαι, ἵνα τὸ φιλόλογον τῆς σεπτῆς ἐπιστήμης πλεονάσῃ μᾶλλον. [5]

2 epil 6 βοτάναι δὲ 〈εἰσ〉 τὰς προγεγραμμένας χρείας χρήσιμοι αἱ ἀπὸ Αἰγύπτου καὶ Ἀραβίας καὶ Συρίας καὶ Ἀσίας, ἔτι δὲ καὶ Ἰταλίας· τὰ κλίματα γὰρ ταῦτα θερμότατα τῶν λοιπῶν ἔοικεν εἶναι. οὐδὲν γὰρ τῶν ἐπὶ τῆς γῆς δίχα παρεισδύσεως πνεύματος δυνατόν ἐστιν αὔξεσθαι.

2 epil 7 ἐν μὲν οὖν τοῖς ψυχροτέροις τῶν κλιμάτων πυκνουμένων τῶν ἐν ταῖς βοτάναις πόρων καὶ τούτων διὰ τὴν παχύτητα παρείσδυσιν ἔχειν ἱκανὴν μὴ δυναμένων ἐλαττοῦσθαι αἱ βοτάναι ταῖς δυνάμεσι καθίστανται, ἐν δὲ τοῖς προειρημένοις κλίμασι διὰ τὴν ἀραιότητα περισσότερον εἰς ἑαυτὰς ἕλκουσι τὸν ζωτικὸν ἀέρα, ὥστε τὴν δύναμιν ἔχειν δραστικωτέραν. οἴομαι δέ σου τὴν ψυχὴν τεθηπέναι δοκοῦντα ἀτελῆ μὴ παρεμφαίνειν τὰ τῆς ἐπιστήμης ἐνεργήματα. [5]